μεῖζόν ἐστιν· καὶ πέντε ἄρα τὰ ἀπὸ τῆς ΚΛ ἓξ τῶν ἀ-
πὸ τῆς ΝΒ μείζονά ἐστιν· ὥστε καὶ ἕν, τὸ ἀπὸ τῆς ΚΛ
ἑνὸς τοῦ ἀπὸ τῆς ΝΒ μεῖζόν ἐστι· μείζων ἄρα ἡ ΚΛ
τῆς ΝΒ. ἴση δὲ ἡ ΚΛ τῇ ΛΜ· μείζων ἄρα ἡ ΛΜ τῆς
ΝΒ· πολλῷ ἄρα ἡ ΜΒ τῆς ΝΒ. ὅπερ ἔδει δεῖξαι:–

Ὅτι δὲ τρία τὰ ἀπὸ τῶν ΖΒ ἓξ τῶν ἀπὸ τῆς ΒΝ μεί-
ζονά ἐστι, δείξομεν οὕτως· ἐπεὶ γὰρ μείζων ἐστὶν ἡ
ΒΝ τῆς ΝΖ· τὸ ἄρα ὑπὸ τῶν ΖΒΝ μεῖζόν ἐστι τοῦ ὑ-
πὸ τῶν ΒΖΝ· τὸ ἄρα ὑπὸ ΖΒΝ μετὰ τοῦ ὑπὸ ΒΖΝ μεί-
ζόν ἐστιν ἢ διπλάσιον τοῦ ὑπὸ ΖΒΝ· ἀλλὰ τὸ μὲν ὑπὸ
ΖΒΝ μετὰ τοῦ ὑπὸ ΒΖΝ τὸ ἀπὸ τῆς ΒΖ ἐστίν· τὸ δὲ
ὑπὸ ΒΖΝ ἴσον τὸ ἀπὸ τῆς
ΝΒ ἐστίν· τὸ ἄρα ἀπὸ
τῆς ΖΒ τοῦ ἀπὸ τῆς
ΒΝ μεῖζόν ἐστιν ἢ διπλά-
σιον· ἓν ἄρα τὸ ἀ-
πὸ τῆς ΖΒ δύο τῶν
ἀπὸ ΒΝ μεῖζόν ἐστιν·
ὥστε καὶ τρία τὰ ἀ-
πὸ τῆς ΖΒ ἓξ τῶν
ἀπὸ ΒΝ μείζονά ἐστιν. ὅπερ ἔδει δεῖξαι:–

ἄκρον καὶ μέσον λόγον τέτμηται ἡ ΒΖ κατὰ τὸ Ν· καὶ τὸ ὑπὸ τῆς ἄκρ. ἴσον ἐστὶ τῷ ἀπὸ τῆς μέσ.

Λέγω δὴ ὅτι παρὰ τὰ εἰρημένα πέντε σχήματα οὐ
συσταθήσεται ἕτερον σχῆμα περιεχόμενον ὑπὸ ἰσο-
πλεύρων τε καὶ ἰσογωνίων ἴσων ἀλλήλοις· ὑπὸ μὲν
γὰρ δύο τριγώνων ἀλλ' οὐδὲ ἄλλων δύο ἐπιπέδων
στερεὰ γωνία οὐ συνίσταται· ὑπὸ δὲ τριῶν τριγώ-

νων, ἡ τῆς πυραμίδος· ὑπὸ δὲ τεσσάρων, ἡ τοῦ ὀ-
κταέδρου· ὑπὸ δὲ πέντε, ἡ τοῦ εἰκοσαέδρου· ὑπὸ
δὲ ἓξ τριγώνων ἰσοπλεύρων τε καὶ ἰσογωνίων πρὸς
ἑνὶ σημείῳ συνισταμένων, οὐκ ἔσται στερεὰ γωνί-
α· οὔσης γὰρ τῆς τοῦ ἰσοπλεύρου τριγώνου γωνί-
ας διμοίρου ὀρθῆς, ἔσονται αἱ ἓξ τέτρασιν ὀρθαῖς
ἴσαι· ὅπερ ἀδύνατον· ἅπασα γὰρ στερεὰ γωνί-
α ὑπὸ ἐλασσόνων ἢ τεσσάρων ὀρθῶν περιέχεται·
διὰ τὰ αὐτὰ δή, οὐδὲ ὑπὸ πλειόνων ἢ ἓξ γωνιῶν ἐ-
πιπέδων, στερεὰ γωνία συνίσταται· ὑπὸ δὲ τε-
τραγώνων τριῶν ἡ τοῦ κύβου γωνία περιέχεται·
ὑπὸ δὲ τεσσάρων ἀδύνατον· ἔσονται γὰρ πάλιν
τέσσαρες ὀρθαί· ὑπὸ δὲ πενταγώνων ἰσοπλεύ-
ρων καὶ ἰσογωνίων ὑπὸ μὲν τριῶν, ἡ τοῦ δωδεκ-
αέδρου· ὑπὸ δὲ τεσσάρων ἀδύνατον· οὔσης
γὰρ τῆς τοῦ πενταγώνου ἰσοπλεύρου γωνίας ὀρθῆς
καὶ πέμπτου, ἔσονται αἱ τέσσαρες γωνίαι τεσσάρων
ὀρθῶν μείζους. ὅπερ ἀδύνατον· οὐδὲ μὴν ὑπὸ
πολυγώνων ἑτέρων σχημάτων περισχεθήσεται στε-
ρεὰ γωνία, διὰ τὸ αὐτὸ ἄτοπον· οὐκ ἄρα παρὰ τὰ
εἰρημένα πέντε σχήματα ἕτερον σχῆμα στερε-
ὸν συσταθήσεται ὑπὸ ἰσοπλεύρων τε καὶ ἰσογωνίων
περιεχόμενον· ὅπερ ἔδει δεῖξαι:–

Ὅτι δὲ ἡ τοῦ ἰσοπλεύρου καὶ ἰσογωνίου πενταγώνου
γωνία ὀρθή ἐστι καὶ πέμπτου, οὕτω δεικτέον· ἔστω
γὰρ πεντάγωνον ἰσόπλευρον καὶ ἰσογώνιον τὸ ΑΒΓΔΕ·